σῆν Ἤδη ὄψει ἃ ποιήσω τῷ Φαραω· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξαπο-
στελεῖ αὐτοὺς καὶ ἐν βραχίονι ὑψηλῷ ἐκβαλεῖ αὐτοὺς ἐκ τῆς γῆς
αὐτοῦ.
2 [2]Ἐλάλησεν δὲ ὁ θεὸς πρὸς Μωυσῆν καὶ εἶπεν πρὸς αὐτόν
3 Ἐγὼ κύριος· [3]καὶ ὤφθην πρὸς Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ, θεὸς
4 ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου κύριος οὐκ ἐδήλωσα αὐτοῖς· [4]καὶ
ἔστησα τὴν διαθήκην μου πρὸς αὐτοὺς ὥστε δοῦναι αὐτοῖς τὴν
γῆν τῶν Χαναναίων, τὴν γῆν, ἣν παρῳκήκασιν, ἐν ᾗ καὶ παρῴ-
5 κησαν ἐπ᾽ αὐτῆς. [5]καὶ ἐγὼ εἰσήκουσα τὸν στεναγμὸν τῶν υἱῶν
Ισραηλ, ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται αὐτούς, καὶ ἐμνήσθην τῆς
6 διαθήκης ὑμῶν. [6]βάδιζε εἰπὸν τοῖς υἱοῖς Ισραηλ λέγων Ἐγὼ κύ-
ριος καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων καὶ ῥύ-
σομαι ὑμᾶς ἐκ τῆς δουλείας καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι
7 ὑψηλῷ καὶ κρίσει μεγάλῃ [7]καὶ λήμψομαι ἐμαυτῷ ὑμᾶς λαὸν ἐμοὶ
καὶ ἔσομαι ὑμῶν θεός, καὶ γνώσεσθε ὅτι ἐγὼ κύριος ὁ θεὸς ὑμῶν
8 ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ τῆς καταδυναστείας τῶν Αἰγυπτίων, [8]καὶ εἰσ-
άξω ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου δοῦναι
αὐτὴν τῷ Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ, καὶ δώσω ὑμῖν αὐτὴν ἐν
9 κλήρῳ· ἐγὼ κύριος. [9]ἐλάλησεν δὲ Μωυσῆς οὕτως τοῖς υἱοῖς Ισ-
ραηλ, καὶ οὐκ εἰσήκουσαν Μωυσῇ ἀπὸ τῆς ὀλιγοψυχίας καὶ ἀπὸ
τῶν ἔργων τῶν σκληρῶν.
10 11 [10]Εἶπεν δὲ κύριος πρὸς Μωυσῆν λέγων [11]Εἴσελθε λάλησον Φα-
ραω βασιλεῖ Αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς υἱοὺς Ισραηλ ἐκ τῆς
12 γῆς αὐτοῦ. [12]ἐλάλησεν δὲ Μωυσῆς ἔναντι κυρίου λέγων Ἰδοὺ οἱ
υἱοὶ Ισραηλ οὐκ εἰσήκουσάν μου, καὶ πῶς εἰσακούσεταί μου Φα-
13 ραω; ἐγὼ δὲ ἄλογός εἰμι. [13]εἶπεν δὲ κύριος πρὸς Μωυσῆν καὶ
Ααρων καὶ συνέταξεν αὐτοῖς πρὸς Φαραω βασιλέα Αἰγύπτου
ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ισραηλ ἐκ γῆς Αἰγύπτου.
14 [14]Καὶ οὗτοι ἀρχηγοὶ οἴκων πατριῶν αὐτῶν. υἱοὶ Ρουβην πρω-
τοτόκου Ισραηλ· Ενωχ καὶ Φαλλους, Ασρων καὶ Χαρμι· αὕτη ἡ
15 συγγένεια Ρουβην. [15]καὶ υἱοὶ Συμεων· Ιεμουηλ καὶ Ιαμιν καὶ Αωδ
καὶ Ιαχιν καὶ Σααρ καὶ Σαουλ ὁ ἐκ τῆς Φοινίσσης· αὗται αἱ πα-
16 τριαὶ τῶν υἱῶν Συμεων. [16]καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Λευι
κατὰ συγγενείας αὐτῶν· Γεδσων, Κααθ καὶ Μεραρι· καὶ τὰ ἔτη
17 τῆς ζωῆς Λευι ἑκατὸν τριάκοντα ἑπτά. [17]καὶ οὗτοι υἱοὶ Γεδσων·
18 Λοβενι καὶ Σεμεϊ, οἶκοι πατριᾶς αὐτῶν. [18]καὶ υἱοὶ Κααθ· Αμβραμ
καὶ Ισσααρ, Χεβρων καὶ Οζιηλ· καὶ τὰ ἔτη τῆς ζωῆς Κααθ ἑκατὸν

6 5 καταδουλωσιν A† || 7 εμαυτω υμας] tr. A || 8 εισαξω] εξαξω B*† | υμιν αυτην] tr. A || 12 εναντιον A || 13 εξαποστ.] εξαγαγειν A || 15 ιεμιηλ B† | αωδ M] ιωαδ B, ιαωαδι A† | ιαχιν] ν > A† || 16 γηρσων A (sed in 17 etiam A γεδσων) | κααθ] pr. και B† || 18 ισσαχαρ B† (sed in 21 etiam B ισσααρ)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/146 UNIVERSITÄT LEIPZIG